et p. 23. To. 1.], *Tzetzes ad Lycophron. Alex.* 1209. *p.* 156. *Opor. p.* 181. *Steph.*

XXVIIII. Ὁ δὲ σοφὸς Παλαίφατος, ἀνὴρ ἐκ περιπάτου, Ἀλληγορεῖ τεμμάχιον, ἢ μέρος τεμμαχίου· Γενναῖον λέγων [*fab.* 8.] στρατηγὸν, Ἀλώπεκα, τυγχάνειν, Καὶ τοῖς Θηβαίοις πολεμεῖν σὺν ἀποστάταις ἄλλοις, Ὅνπερ ἀνεῖλε Κέφαλος, κληθεὶς ἐξ Ἀθηναίων. *Ioh. Tzetzes Chil.* 1. *hist.* 20. *v.* 558. *ſſ. Basil.*

XXX. Ὁ Εὐρυσίχθων [Ἐρισίχθων] πεπρακὼς βέβρωκε τὰς ἀρούρας, Πενίᾳ δὲ τρυχόμενος, λιμῷ τε παλαμναίᾳ, Προαγωγεύων τὴν αὐτοῦ διέζη θυγατέρα, Τοῦ μὲν διδόντος χρήματα, τοῦ δὲ τυχὸν ἀρνίον, Ἄλλου διδόντος λαγωοὺς, ὄρνιθας, χῆνας, κύκνους, Καὶ τῶν λοιπῶν ἐκ τῶν λοιπῶν, ἵνα μὴ λόγους πλέκω. Οἶμαι δὲ, καὶ Παλαίφατος οὕτως αὐτὸ διδάσκει [*fab.* 24.]. *Ioh. Tzetzes Chil.* 2. *hist.* 47. *v.* 677. *ſſ.*

XXXI. Σὺν ἀδελφαῖς ἡ Ἄλκηστις ἄκουσα τὸν πατέρα, Μηδείας δόλοις, κτείνασα προσφεύγει τῷ Ἀδμήτῳ, Ὧι καὶ νομίμοις ζεύγνυται γάμοις, ὡς ἀπὸ γένους. Ἄκαστος ταύτην ἀδελφὸς ἐζήτει τῷ Ἀδμήτῳ, Ὡς τιμωρίαν λάβοι τοῦ φόνου τοῦ πατρῴου. Ἀδμήτου μὴ διδόντος δὲ, τοῦτον αὐτὸν κατέσχε, Σὺν παμπληθεῖ τῇ στρατιᾷ καταφέρων στρατεύων. Ἀναιρεθῆναι δ' ὑπ' αὐτοῦ μέλλοντος Ἀδμήτου, Ἄλκηστις δέδωκεν αὐτὴν, Ἄδμητος δ' ἀπελύθη, Καὶ συμφορὰν τῆς γυναικὸς ἐθρήνει, καὶ τὸ πάθος. Ἀλλ' Ἡρακλῆς ἐπιφανεὶς πάλιν αὐτῷ κομίζει, Ἐκ τοῦ θανάτου σεσωκὼς, καὶ τῶν χειρῶν Ἀκάστου. Τοῦτο τὸ ἀλληγόρημα, τέκνον ἐμὸν, μοὶ δοκεῖ· Οἶμαι τοῦ Παλαιφάτου δὲ, τοῦ Στωϊκοῦ, τυγχάνει [*fab.* 41.] Κάλλιστον ὂν, οὐχὶ σαθρὸν, οἷα τὰ πλείω γράφει. *Ioh. Tzetzes Chil.* 2. *hist.* 53. *v.* 825. *ſſ.*

XXXII. Τίνες δ' ἦσαν οἱ Κένταυροι, Παλαίφατος μὲν λέγει. Πρὶν ἵπποις μονοκέλησιν οὐκέτι ἐπωχοῦντο. Ταύρων δ' ἀγρίων Θετταλῶν τὴν χώραν σινομένων, Νέοι τινὲς τῶν σθεναρῶν κέλησιν ἐπιβάντες Τοὺς ταύρους κατηκόντιζον· οὕσπερ τινὲς ἰδόντες, Ὡς ταύρους ἀκοντίζοντας, ὠνόμασαν Κενταύρους· Ἱππομιγεῖς δ' ἐνόμισαν, ὡς πόῤῥωθεν ἰδόν-